# 13 DECEMBRIE

# ACATISTUL SF.CUVIOS GHERMAN DE LA ALASKA

## ACATISTIER-GR


ST. HERMAN
OF ALASKA
FROM THIS DAY, FROM THIS HOUR, FROM THIS MOMENT, LET US STRIVE TO LOVE GOD AND FULFILL HIS HOLY WILL

# Χαιρετισμοί Ὁσίου ΓΕΡΜΑΝΟΥ τοῦ ἐν Ἀλάσκᾳ

Ἀντ. Μάρκου

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐν Ἀλάσκᾳ Ἀπόστολος* πόθῳ Χριστοῦ καθωράθης,* καταυγάζων, Γερμανέ,* τάς διανοίας γηγενῶν,* θεοσημείαις καί ῥήμασι·* διό Κυρίῳ ἐβόας·

Ἀλληλούϊα.

Ἀστήρ ἀνεφάνης ἐν τῇ Ῥωσίᾳ, θεόφρων* (ἐκ τρίτου, μετά τῆς ἐπωδοῦ «*Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν*»), ἐν Βαλαάμ τῇ Μονῇ ἀγωνισάμενος·* ἐκεῖθεν δέ ἀνατείλας,* Ἀλάσκαν κατέλαβες,* αὐτήν καταυγάσας Χριστοῦ τῷ κηρύγματι·* διό τιμῶμεν σε ᾄδοντες ἐν εὐφροσύνῃ τοιαῦτα·

Χαῖρε, ἄνθος ὡραιότατον τῆς Ἁγίας Ῥωσίας·
χαῖρε, ἀγλάϊσμα τερπνότατον τῆς Χριστοῦ Ἐκκλησίας.
Χαῖρε, ὁ ἐνυπάρχων τῶν Ὀρθοδόξων λαμπρότης·
χαῖρε, ὁ ἐντυγχάνων τῆς Ἐκκλησίας φαιδρότης.
Χαῖρε, ἥλιε ὁλόφωτε τῆς Ἐκκλησίας τοῦ Χριστοῦ·

χαῖρε, ὑπόδειγμα ἐν βίῳ τοῦ ποιμνίου τοῦ Θεοῦ.
Χαῖρε, δι' ὅν ἡ Ἐκκλησία εὐφροσύνως χορεύει·
χαῖρε, πρός ὅν ἐκβοῶσα ἐν εὐλαβείᾳ προστρέχει.
Χαῖρε, κρῖνον τό ἐν Ἀλάσκᾳ παραξόξως ἀκμάσαν·
χαῖρε, ὁ εὐφραίνων σῇ δόξῃ τήν ὑφήλιον πᾶσαν.
Χαῖρε, Ῥωσίας τῆς Ἁγίας ὁ γλυκύς ἐρωδιός·
χαῖρε, Ἀλάσκας ὁ προστάτης καί αὐτῆς ὁ ὁδηγός.
Χαίροις Γερμανέ Ἰσαπόστολε.

Βασιλείας οὐρανῶν* τό ἀείφωτον ἐκτήσω δι'ἀσκήσεως,* Γερμανέ Πατήρ ἡμῶν,* διά βίου ἐν τῇ Ἀλάσκᾳ* Χριστόν ὁμολογῶν Θεόν σεσαρκωμένον,*
εἰς ἔλεγχον τυραννούντων καί φωτισμόν γηγενῶν·* διό καί ἀλήκτου ζωῆς ἠξιώθης,* ἀναβοῶν Αὐτῷ·
Ἀλληλούϊα.

Γεωργίῳ τῷ τοῦ Κυρίου ἐργασθείς ἐν Ἀλάσκᾳ,* τῇ εὐχῇ Ναζαρίου τοῦ ὁσίου ἐν πατράσι,* καί Ἀλεούτους φωτήσας καί Θεῷ ὁδηγήσας,* ἐκεῖθεν τήν τοῦ Πνεύματος καταυγάζεις χάριν,* πᾶσι τοῖς σοί βοῶσι* ἐν ἀγάπῃ καί πόθῳ·

Χαῖρε, ὁ διαπρέψας διακονίᾳ τοῦ Λόγου·
χαῖρε, ὁ διασπείρας ῥήματα τοῦ Κυρίου.
Χαῖρε, ὁ ἰθαγενεῖς ἀδελφούς θεωρήσας·
χαῖρε, ὁ Χριστόν πᾶσι τούτοις διδάξας.
Χαῖρε, ὁ δι’ ἀγώνων πατάξας Βελίαρ·
χαῖρε, ὁ διά βίου ἐπιδείξας ἀγνοίαν.
Χαῖρε, ὁ καθελών τάς ἐνέδρας τῆς πλάνης·
χαῖρε, ὁ ἀνελών τῆς σαρκός τάς ὀρέξεις.
Χαῖρε, κανών ποιμαντικῆς διακρίσεως·
χαῖρε, λαμπάς ἐνθεωτάτου φρονήματος.
Χαῖρε, τῆς εὐσεβείας σάλπιγξ ἡ χρυσίλατος·
χαῖρε, τῆς ἀληθείας κῆρυξ ὁ διαπρύσιος.
Χαίροις Γερμανέ Ἰσαπόστολε.

Δόξαν τήν τοῦ Σωτῆρος ὁλοτρόπως ποθήσας ,* τόν βίον ἐν τῇ μαθητείᾳ τῶν Ἀλεούτων ἠνάλωσας,* ἱεραποστολῆς τήν ἄσκησιν προκρίνας,* τῶν τοῦ κόσμου τερπνῶν καί ἡδέων·* διό Αὐτῷ ἀπό καρδίας ἀνεβόας·
Ἀλληλούϊα.

Εὐλογοῦμεν σε, Πάτερ, τῆς Ῥωσίας τόν γόνον* καί ταύτης τό κλεινόν ἀπάνθισμα·* σύ γάρ,* οἷαπερ μέλισσα νοητή,* τά κρείττονα ζηλῶν,* ἱεραποστολῆς τήν ὁδόν ἀκολουθῆσαι προέκρινας,* διό καί παρ’ ἡμῶν ἀκούεις ταῦτα
Χαῖρε, ἀστήρ διαλάμπων τοῦ νοητοῦ στερεώματος·

χαῖρε, ὑψίστη ἀνόρθωσις τοῦ δεινοῦ ἡμῶν πτώμ ατος
Χαῖρε, ὁ ἐν πειρασμοῖς στερρός καί ἀήττητος·
χαῖρε, ὁ ἐν διακονίᾳ Ἀλεούτων ὁ πρόθυμος.
Χαῖρε, ὁ Σαμάνων καταργήσας τήν πλάνην·
χαῖρε, ὁ πιστοῖς πλουσίαν νείμας τήν χάριν.
Χαῖρε, ὁ ὑποστάς πρῶτον ἀσκήσεως πόνους·
χαῖρε, ὁ φωτίσας εἶτα λαόν τόν ἐν σκότει
Χαῖρε, ὁ σημείοις βεβαιώσας τόν λόγον
χαῖρε, ὁ θαυμασίοις κηρυχθείς μετά λῆξιν.
Χαῖρε, τῆς ἐγκρατείας ὁ εὐθύτατος κανών·
χαῖρε, τῆς ἀπαθείας ὁ μυρίπνους λειμών.
Χαίροις Γερμανέ Ἰσαπόστολε.

Ζῆλον θεῖον ὡς φλόγα τῇ σῇ ψυχῇ κεκτημ ένος,* Γερμανέ ἀξιάγαστε,* βιοτῆς τῆς προσκαίρου τά τερπνά παρεῖδες* καί τοῦ φωτῆσαι λαούς ἐν τῷ σκότει κειμένους* είς σωτηρίαν προέκρινας·* διό καί οὐρανίας ἐδέχθης δωρεᾶς,* βοῶν Κυρίῳ·
Ἀλληλούϊα.

Ἥπλωσας τάς σάς χεῖρας τοῦ προσφέρειν πλακοῦντας,* ἐπί τέκνοις πτωχοῖς Ἀλεούτων·* ἅμα δέ τῇ τροφῇ* εὐλογίαν Κυρίου ἐπ' αὐτοῖς δαψιλεύων,* ἐδείχθης ἀληθῶς πατήρ τῶν σῶν τέκνων,* κηδόμενος τῆς ἐν πνεύματι ἅμα τε* καί ἐν σώματι αὐτῶν ζωῆς·* διό ἐκβοῶμεν* σοί τῷ Ἀποστόλῳ Κυρίου τοιαῦτα·

Χαῖρε, λόγων Κυρίου τηρητής ζωηφόρων·
χαῖρε, Ἀποστόλων τοῦ ζήλου ζηλωτής θεοφόρων·
Χαῖρε, δοχεῖον τῆς τοῦ Πνεύματος χάριτος·
χαῖρε, ταμεῖον πλῆρες τῆς Αὐτοῦ ἁγιότητος.
Χαῖρε, πλοῦτος θεοδώρητος, τοῖς πτωχοῖς ἀεί πλουτίζων·
χαῖρε, σκεῦος πολυτίμητον, πλῆρες θείων δωρεῶν.
Χαῖρε, ὁ ὑπάρχων τοῦ Παραδείσου εὐωδίᾳ·
χαῖρε, ὁ ἐλαύνων πᾶσαν παθῶν δυσωδίαν.
Χαῖρε, ὅτι πρός ὕψος ἁγιότητος ἤρθης·
χαῖρε, ὅτι πλουσίων χαρισμάτων ἐπλήσθης.
Χαῖρε, οὗ ἡ μνήμη ἐν ἡμῖν μακαρία·
χαῖρε, Ὀρθοδόξων πιστῶν προστασία.
Χαίροις Γερμανέ Ἰσαπόστολε.

Θεοῦ τόν λόγον ἀκούσας, «πορευθέντες» βοῶντι* «μαθητεύσατε πάντα τά ἔθνη»,* ἐπέστης Ναζαρίου εὐλογίᾳ ἐπ'Ἀλάσκαν,* φωτίσαι τούς ἐν σκότει κειμένους·* ἔνθα Νέον Βαλαάμ τήν Σήν κέλλαν καλέσας,* Βαλαάμ τοῦ σεμνείου ἡσυχίας τό πνεῦμα* τοῖς Ἀλεούτοις μετέδωκας·* Κυρίῳ ἀπό ψυχῆς βοῶν·
Ἀλληλούϊα.

Ἰδεῖν ἡμέραν Κυρίου ἐπιποθῶν μετά λῆξιν,* σοῖς συντόνοις ἐγκρατείας καμάτοις,*

τόν Κύριον εὐηρέστησας* καί Παραδείσου τάς πύλας σαὐτῷ ἠνέωξας,* Γερμανέ θειότατε·* διό κατά χρέος σοί ἐκβοῶμεν,* ἀπό καρδίας ψάλλοντες·

Χαῖρε, δι' οὗ πιστοί σκιρτῶσι εὐφροσύνῃ·
χαῖρε, δι' οὗ ἐχθροί σιγῶσι αἰσχύνῃ.
Χαῖρε, ζωῆς τῆς ἐν Κυρίῳ ἁγίας διδάσκαλος·
χαῖρε, ἔργου Ἀποστόλων τῶν πάλαι ἐφάμιλλος.
Χαῖρε, ὁ τῇ τοῦ Πνεύματος χάριτι θεούμενος·
χαῖρε, ὁ ὑπ' Αὐτοῦ οὐρανοῖς ὁδηγούμενος.
Χαῖρε, ὁ τοῦ Κυρίου Ἀπόστολος ὁ νέος·
χαῖρε, δι'οὗ οἰμώζει πτερνιστής ὁ ἀρχαῖος.
Χαῖρε, ὁ τῆς ἀγάπης τοῦ Χριστοῦ ἔσοπτρον·
χαῖρε, ὁ τῆς ἀπάτης τοῦ Βελίαρ δρέπανον.
Χαῖρε, ὁδηγός εὐλαβῶν ὁ θεόσοφος·
χαῖρε, κακοφρόνων ἐν Κυρίῳ ὁ ἔλεγχος.
Χαίροις Γερμανέ Ἰσαπόστολε.

Καλλινίκου Ῥωσίας τῷ βλαστῷ καί καυχήματι* καί βορείας ἐρήμου τόν πολίτην τόν ἔνθεον,* ἀξιοχρέως τιμῶμεν οἱ πιστοί·* τῷ αὐτῷ ἁγιάσαντι Κυρίῳ δέ,* Οὗ τό ὄνομα ἐν Ἀλάσκᾳ ἐκήρυξεν,* ἐν εὐφροσύνῃ βοῶμεν·

Ἀλληλούϊα.

Λαόν, Πάτερ, Κυρίου τόν πτωχόν ἐν Ἀλάσκᾳ,* τῇ φλογῇ τῆς ἀγάπης ἐκαιόμενος,* ἐφώτισας Χριστοῦ τῷ φωτί,* ἔργοις καί λόγοις Τοῦτον κηρύττων,* τοῖς σημείοις Αὐτοῦ μαρτυροῦντος* τήν εὐλογίαν Ἐκείνου ἐπί τῶν χειρῶν σου τά ἔργα·* διό σοῦ τά παλαίσματα θαυμάζοντες λέγομεν·

Χαῖρε, ὁ δεδοξασμένος τῷ ἤθει τῶν τρόπων·
χαῖρε, ὁ λελαμπρυσμένος τῷ ὄγκῳ τῶν κόπων.
Χαῖρε, ἔμψυχε εἰκών καρτερίας ἀρραγοῦς·
χαῖρε, ἄνθος μυστικόν εὐθαλείας οὐρανῶν.
Χαῖρε, θησαύρισμα τῆς θείας ἀγάπης·
χαῖρε, ἐναύλισμα τῆς τοῦ Λόγου πτωχείας.
Χαῖρε, ὁ κηρύξας Χριστοῦ τό ὄνομα πράξει·
χαῖρε, ὁ μαρτυρήσας προθύμως τῇ συνειδήσει.
Χαῖρε, σύναξις εὐφρόσυνος καί παρεμβολή ὁσία
χαῖρε, Ἀπόστολε Ἀλεούτων, οὗ ἡ μνήμη αἰωνία.
Χαῖρε, ὁ ὡς παιδίον τόν σόν βίον τελέσας·
χαῖρε, τά παιδία τῶν πτωχῶν ἀγαπήσας.

Χαίροις Γερμανέ Ἰσαπόστολε.

Μένει είς τόν αἰῶνα, Γερμανέ, ἡ σή δόξα,* ἥν ἐκτείσω ἐν Ἀλάσκᾳ τόν λόγον κηρύττων,* Λόγου τοῦ Θεοῦ ἐνανθρωπήσαντος Μόνου·* διό ὡς παρρησίαν πρός Αὐτόν κεκτημένος,* μή ἐπιλάθου σῆς ποίμνης τῶν πτωχῶν Ἀλεούτων* καί πάντας διάσωζε τούς τῷ Κυρίῳ βοῶντας·

Ἀλληλούϊα.

Νίκην τήν μόνην
καί μένουσαν διά βίου ζητῶν,*
ἀποστολικοῖς ἀγῶσι* τόν ἀρχαῖον πτερνιστήν κατή σχυνας·* διό τάς ἀριστείας σου ἐξυμνοῦντες* καί τάς σάς πρεσβείας πρός Θεόν ἐξαιτούμενοι,* χρεωστικῶς ἐν τιμῇ ἐκβοῶμεν σοι τοιαῦτα·

Χαῖρε, ὁ ἀπαστράψας ἰσαγγέλῳ τῷ βίῳ
χαῖρε, ὁ ἡμᾶς μυρίσας τῷ τοῦ Πνεύματος μύρῳ.
Χαῖρε, ὁ τῆς χάριτος Αὐτοῦ σκήνωμα δειχθείς·
χαῖρε, ὁ Ἰσαποστόλων Ἁγίων ἰσότιμος φανείς.
Χαῖρε, γεωργίας καινῆς ἀπάνθισμα λαμπροφόρον·
χαῖρε, οὐρανίας πατρίδος πόλισμα φωτοφόρον
Χαῖρε, Πάτερ ἡδύτατε, ὁ πτωχούς ἐκδιδάξας·
χαῖρε, οὐράνιε ἄνερ, ὁ Ἀγγέλους ἐκπλήξας.
Χαῖρε, ὁ ἡμῖν προχέων τό οὐράνιον μῦρον·
χαῖρε, ὁ καταργῶν ἁμαρτίας τόν κόπρον.
Χαῖρε, ὁ εὐλογήσας Ἀμερικῆς τήν χθόνα·
χαῖρε, ὁ ὑπεριδών τόν παρόντα αἰῶνα.
Χαίροις Γερμανέ Ἰσαπόστολε.

Ξένος τῶν
ἐν τῷ κόσμῳ ἀγαθῶν καί ἡδέων* καί πάροικος τ ῆς ὑπ' οὐρανόν ὄντως ἐφάνης,* Γερμανέ μακάριε,* ξενοπρεπῶς διά βίου ἀγωνισάμενος·*
ὅθεν Ὀρθόδοξοι πάντες κατά χρέος τιμῶντες σε,* Κυρίῳ τῷ Σέ ἁγιάσαντι βοῶμεν·

Ἀλληλούϊα.

Ὅλως ἡγιασμένος καί τοῖς ἱδρῶσι λελουσμένος,* ἡμῖν παρά Κυρίου ἐδόθης,*
εἰς πρεσβείαν πρός Αὐτόν,
Ὁσιώτατε·* ἀποστολῆς τήν ἄσκησιν γάρ* καί τόν μονήρη βίον συγκεράσας,* ἰσχύν παρέχεις ἡμῖν τοῖς ψάλλουσι·

Χαῖρε, ἀστήρ πίστεως τῆς Ὀρθοδόξου·
χαῖρε, καθαιρέτης κακοδοξίας Ῥωμαίων.
Χαῖρε, Ναζαρίου πατρός ὁ διάδοχος·
χαῖρε, τῆς εὐκλείας ἐκείνου ὁ ἰσότιμος.
Χαῖρε, ὁ πτωχός διά τήν χάριν τοῦ Κυρίου·
χαῖρε, ὁ ἐν σαρκί κῆρυξ τοῦ Εὐαγγελίου.
Χαῖρε, Ἀποστόλων τῶν πρώτων τῷ τρόπῳ διάδοχος·
χαῖρε, ἐκείνων τοῦ βίου καί τῶν τρόπων ὁ μέτοχος.
Χαῖρε, Παϊσίου Βελίτσης πνεύματος ὁ θεράπων·
χαῖρε, ὁ ἡσυχίαν ἐκείνου τοῖς ἀνθρώποις διδάσκων.
Χαῖρε, ὁ ἐντρυφήσας πλούτῳ τῆς Φιλοκαλίας·
χαῖρε, ὁ ζηλώσας ἡσυχαστῶν τῆς εὐκλείας.
Χαίροις Γερμανέ Ἰσαπόστολε.

Πατέρων ἐν τῷ μέσῳ τοῦ Παραδείσου ἐντυγχάνων,* ὧν τόν βίον ἐζήλωσας, Πάτερ τρισμάκαρ,* ὡς δι’ ἀγάπης καί ἀσκήσεως ἁγιασθείς,*

ἀξιοχρέως γεραίρεσαι ὑπό πάντων, * τῶν τῷ σέ δοξάσαντι Θεῷ κραυγαζόντων·
Ἀλληλούϊα.

Ῥοῇ μέλιτος ἀπό γλώττης,* ὡς ἕτερος Παῦλος,* εὐσεβείας τόν λόγον κηρύττει,* Γερμανός ὁ θεῖος,* ὅν πρῶτος ἐκεῖνος ἑαυτῷ ἐφήρμοσεν,* λαῷ τῷ τοῦ Θεοῦ·* διό καί ἡ Ἐκκλησία τοῦτον τιμῶσα,* βοᾶ αὐτῷ ἐν χαρᾷ συμφώνως·

Χαῖρε, ὁ ποθήσας Πνεύματος τήν ἔλλαμψιν·
χαῖρε, ὁ ζηλώσας Ἀποστόλων τήν κατάστασιν.
Χαῖρε, ῥεῖθρον γέμων τῶν Παρακλήτου ναμάτων·
χαῖρε, ἄνθος εὐῶδες τῆς οὐρανῶν Βασιλείας.
Χαῖρε, ὁ δεξάμενος τῶν θαυμάτων τήν χάριν·
χαῖρε, ὁ τρεψάμενος ἀκαθαρσίας τήν λύμην.
Χαῖρε, ὁ τῶν παθῶν ἐκτίλλων ἀκάνθας·
χαῖρε, ὁ τῶν ψυχῶν ἀρδεύων ἀρούρας.
Χαῖρε, ὁ δεξάμενος τῆς Θεοτόκου ἐπίσκεψιν·
χαῖρε, ὁ ἰαθείς ταῖς Ἐκείνης δυνάμεσι.
Χαῖρε, ταμεῖον τῆς πρός πλησίον ἀγάπης·
χαῖρε, ὀλετήρ τῆς τοῦ Βελίαρ ἀπάτης.
Χαίροις Γερμανέ Ἰσαπόστολε.

Στέψας τήν κορυφήν σου ὁ Χριστός ἐν στεφάνῳ,* ἐν Παρδείσῳ μετ᾽ Ἀποστόλων σέ ἐνέταξε, Πάτερ,* ἔνθα χορεύεις Ἁγίων αὐλιζόμενος δήμοις·*

ἡμᾶς διό πάσης βλάβης καί κινδύνου διάσωζε,* τούς ψάλλοντας τῷ Κυρίῳ·

Ἀλληλούϊα.

Τιμήν τήν τῆς Ἐκκλησίας ἠξιώθης, Παμμάκαρ,* δι'ἐγκρατείας ἐκγυμνασθείς* καί τῷ κηρύγματι ᾧ πάλαι πτερνιστήν καταισχύνας·* διό τάς ἀριστείας σου τιμῶντες,* οἱ τῷ φωτί τῶν πρεσβειῶν σου ἐλπίζοντες,* πίστει ἐνθέρμῳ σοί μέλπομεν·

Χαῖρε, δι' οὗ ἡ Τριάς ἀνυμνεῖται·
χαῖρε, δι' οὗ ἡ ὑπ' οὐρανόν φρυκτωρεῖται.
Χαῖρε, δόξα καί ἀντίληψις Ὀρθοδόξων εὐσεβῶν·
χαῖρε, σκέπη καί κραταίωμα τῶν ὑφ' ἥλιον εὐλαβῶν.
Χαῖρε, ὁ πλησθείς μενόντων οὐρανίων δωρεῶν·
χαῖρε, ὁ ἀποστάς φθειρομένων ἐπιγείων ἐννοιῶν.
Χαῖρε, ὁ ἡδύνας τήν Ἀλάσκαν σῷ βίῳ·
χαῖρε, ὁ Ἰωάσαφ σχών ἐκεῖ συνεργάτην.
Χαῖρε, ὁ μετά Πέτρου τοῦ Ἀλεουτίου πρεσβεύων·
χαῖρε, ὁ μετά Ἰουβεναλίου τάς χεῖρας ἐκτείνων.
Χαῖρε, ὁ προεξάρχων τοῦ χοροῦ τῶν Ἁγίων·
χαῖρε, τῶν φανέντων ἐν τῷ Κόσμῳ τῷ Νέῳ.

Χαίροις Γερμανέ Ἰσαπόστολε.

Ὕμνοις ἐπινικίοις τήν σήν πολιτείαν* καί κόπων τῶν μεγίστων ἐν τῷ ἀγρῷ τοῦ Κυρίου τιμῶντες,* χαιρετιστήριον ᾠδήν σοί προσφέρομεν, Ἅγιε·* τῷ δέ σέ δοξάσαντι Θεῷ τῷ ἐν Τριάδι,* πανευφροσύνως ἐν εὐλαβείᾳ καί κατανύξει ἐκβοῶ μεν·

Ἀλληλούϊα.

Φλέγει Βελίαρ τήν ἰσχύν,* ἡ ἐνοικοῦσα τοῖς τιμίοις σου Λειψάνοις τοῦ Πνεύματος χάρις,* Γερμανέ Πατήρ ἡμῶν· ἁγιάζει δέ τούς πίστει προστρέχοντας καί ταῦτα π ροσκυνοῦντας·* διό μετ' εὐφροσύνης, ἐν χαρμονῇ σοι βοῶμεν·

Χαῖρε, ἄνθος ἀπαθείας τό εὐωδέστατον·
χαῖρε, σκεῦος ἀκακίας τό πολυτίμητον.
Χαῖρε, λαμπηδών τῆς τοῦ Χριστοῦ Ἐκκλησίας·
χαῖρε, ἐν Κυρίῳ κατάργησις τῆς Σαμάνων ἀγνωσίας.
Χαῖρε, τῆς Ἐκκλησίας ὁ ἄσειστος πύργος·
χαῖρε, ἡ Παραδείσου πανευφρόσυνος νότα.
Χαῖρε, ὁ λόγος τῆς Χριστοῦ Ἐκκλησίας·
χαῖρε, ἡ Ἀλεούτων πηγή παραμυθίας.
Χαῖρε, δι' οὗ εὐσεβεῖς, ἐξ οὐρανοῦ φωταυγοῦνται·
χαῖρε, δι' οὗ δυσεβεῖς, διά παντός καταργοῦνται.

Χαῖρε, ἀηδών συνάρσεως τῆς θεοβρύτου·
χαῖρε, λαμπηδών ἐμφάνσεως τῆς οὐρανίου.
Χαῖρε, ὁ τοῦ Σωτῆρος τόν σταυρόν ἀράμενος·
χαῖρε, ὁ τήν μένουσαν ἡμῖν πόλιν δειξάμενος.
Χαίροις Γερμανέ Ἰσαπόστολε.

Χαίρων τῆς ζωῆς τῆς ἀλήκτου νῦν ἀπολαύεις,* Γερμανέ μακάριε,* σύν πάσῃ ψυχῇ οἵα τόν Κύριον ηὐηρέστησε* καί πάντα τά τῶν Ἀγγέλων καί Δικαίων συστήματα·* ἀπό πάσης δέ λύπης καί ὀργῆς ἡμᾶς ῥύεσαι,* το ύς πόθῳ τελοῦντας τήν μνήμην σου* καί Κυρίῳ ᾄδοντας·
Ἀλληλούϊα.

Ψαλλοῦμεν Γερμανοῦ τήν ἀείφωτον δόξαν,* ὅς Κυρίου τῶν λόγων ποιητής ἀνεδείχθη·* «*πορευθέντες* – οὖν ἀκούων –*μαθητεύσατε πάντα τά ἔθνη*»,* ἔσπευσε τρέχων καί διά βίου Ἐκείνου* μαθητής ἐνεφάνη·* διό αὐτοῦ τά παλαί σματα θαυμάζοντες βοῶμεν·
Χαῖρε, στρατιῶτα κραταιότατε Κυρίου·
χαῖρε, καθαιρέτα ἐνθεώτατε Βελίαρ.
Χαῖρε, ὁ λυτήρ τῆς ψυχοφθόρου συνοχῆς·
χαῖρε, ὁ δοτήρ τῆς θεοδότου χαρμονῆς.
Χαῖρε, ὁ σαρκός κουφίζων ἀλγηδόνας·
χαῖρε, ὁ ἁμαρτανόντων ῥυθμίζων τόν βίον·
Χαῖρε, λαμπάς τῆς θείας καθάρσεως·

χαῖρε, ὁδηγέ τῆς ψυχῶν ἀνατάσεως.
Χαῖρε, Χριστοῦ ἡ ἁγιωτάτη παράταξις·
χαῖρε, Σατάν ἡ τελειωτάτη κατάργησις.
Χαῖρε, χαιρετισμοῦ τοῦ ἐμοῦ ὁ συλλήπτωρ·
χαῖρε, ὁ τῆς ψυχῆς τῆς ἐμῆς ἀντιλήπτωρ.
Χαίροις Γερμανέ Ἰσαπόστολε.

Ὦ Γερμανέ τῆς Ἀλάσκας τό ἰσαπόστολον κλέος,* Ἀγγέλων συμπολῖτα τῶν θείων* (ἐκ τρίτου μετά τῆς ἐπωδοῦ, «*Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν*»), σύν τούτοις καί πᾶσι τοῖς Ἁγίοις* Χριστόν ἐκδυσωπήσατε,* πταισμάτων διδόναι ἡμῖν συγχώρησιν,* τοῖς Αὐτῷ βοῶσιν·
Ἀλληλούϊα.

Στίχοι·
*Δέχου χαιρετισμόν, τρισμάκαρ, Ἀντωνίου·*
*δώρησαι δ᾽ αὐτῷ ἐν μετανοίᾳ εἰρήνην,*
*ὥστε βίου παντίπικρου θάλασσαν διαπλεῦσαι.*